τοι καὶ τούτῳ προσῆκεν, εἰ μὴ πάππος ἦν μοι Κίρων, ὠθεῖν ⟨καὶ⟩ ἐκβάλλειν καὶ κωλύειν συνθάπτειν. Οὐδὲν γὰρ ὅμοιον ἦν μοι πρὸς τοῦτον· ἐγὼ μὲν γὰρ εἴων αὐτὸν ἀδελφιδοῦν ὄντα τοῦ πάππου ταῦτα πάντα συμποιεῖν, τούτῳ δ' ἔμ' οὐ προσῆκεν ἐᾶν, εἴπερ ἀληθῆ ταῦτα ἦν ἅ περ νῦν λέγειν τολμῶσιν. 27 Ἀλλ' οὕτω τῇ τοῦ πράγματος ἀληθείᾳ κατεπέπληκτο ὥστ' οὐδ' ἐπὶ τοῦ μνήματος ἐμοῦ ποιουμένου λόγους καὶ κατηγοροῦντος Διοκλέους ὅτι τὰ χρήματα ἀποστερῶν τοῦτόν μοι πέπεικεν ἀμφισβητεῖν, οὐκ ἐτόλμησεν γρῦξαι τὸ παράπαν οὐδὲν οὐδ' εἰπεῖν ἃ νῦν τολμᾷ λέγειν. Καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

### Μάρτυρες

28 Πόθεν χρὴ πιστεύεσθαι τὰ εἰρημένα; Οὐκ ἐκ τῶν μαρτυριῶν; οἶμαί γε. Πόθεν δὲ τοὺς μάρτυρας; Οὐκ ἐκ τῶν βασάνων; Εἰκός γε. Πόθεν || δ' απιστεῖν τοῖς τούτων λόγοις; Οὐκ ἐκ τοῦ φεύγειν τοὺς ἐλέγχους; Ἀνάγκη μεγάλη. Πῶς οὖν ἄν τις σαφέστερον ἐπιδείξειε γνησίαν οὖσαν θυγατέρα Κίρωνος τὴν μητέρα τὴν ἐμὴν ἢ τοῦτον τὸν τρόπον ἐπιδεικνύς; 29 Τῶν μὲν παλαιῶν ἀκοὴν μαρτυρούντων παρεχόμενος, τῶν δὲ ἔτι ζώντων τοὺς εἰδότας ἕκαστα τούτων, οἳ συνῄδεσαν παρ' ἐκείνῳ τρεφομένην, θυγατέρα νομιζομένην, δὶς ἐκδοθεῖσαν, δὶς ἐγγυηθεῖσαν, ἔτι δὲ περὶ πάντων τούτους βάσανον ἐξ οἰκετῶν πεφευγότας, οἳ ταῦτα πάντα ᾔδεσαν. Ἔγωγε μὰ τοὺς θεοὺς τοὺς Ὀλυμπίους οὐκ ἂν ἔχοιμι πίστεις μείζους τούτων εἰπεῖν, ἀλλ' ἱκανὰς εἶναι νομίζω τὰς εἰρημένας.